ἐρυθρὰ αὐτοῦ τὰ ἱμάτια ὡς ἀπὸ πατητοῦ ληνοῦ· καὶ Χριστὸς πρὸς αὐτάς·
ληνὸν ἐπάτησα λέγει μονώτατος· καὶ πάλιν τὸ ποτήριον ὃ δέδωκέ μοι
ὁ πατὴρ οὐ μὴ πίω αὐτό; μήποτε δὲ καὶ ὁ πρῶτος ἀμπελῶν
φυτουργὸς Νῶε τὰ κατὰ τὸ δεσποτικὸν πάθος ὑπέγραφε τῷ
ἐκ τοῦ οἴνου καὶ μεθυσθῆναι καὶ γυμνωθῆναι ἐν τῷ οἴκῳ αὐτοῦ,
καὶ παρὰ τοῦ νεωτέρου υἱοῦ θεατρισθῆναι, πέπωκε γὰρ ὁ σωτὴρ
πρῶτος, τὸ τοῦ πάθους ποτήριον· καὶ ὡς ἀπὸ μέθης τοῦ πάθους,
ἐν τῷ οἴκῳ αὐτοῦ τῷ παραπικραίνοντι κεκοίμηται· καὶ
γεγύμνωται παρὰ τῶν στρατιωτῶν· καὶ πρὸς τοῦ νεωτέρου λαοῦ
θριαμβευόμενος κεκόσμηται· ἀλλὰ καὶ νῦν μεθυσθεὶς
τῷ πάθει καθεύδει ὁ τοῦ καινοῦ κόσμου γενάρχης Χριστός· καὶ πῶς
ἀσχημονοῦν τοῖς ἐπαράτοις δοκεῖ γεγυμνωμένος οὕτω καὶ
μὴ ἔχων κάλλος οὐδὲ εἶδος· ὁ ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς
τῶν ἀνθρώπων, ἀλλ᾽ αὔριον ἐξεγερθήσεται ὡς ὁ ὑπνῶν κύριος
ὡς δυνατὸς καὶ κεκραιπαληκὼς ἐξ οἴνου· καὶ τοὺς ἐχθροὺς παροινοῦντας
πατάξει· καὶ ὄνειδος δώσει τούτοις αἰώνιον· τοῖς δὲ περὶ τὸν
ἀσχήμονα βουληθεῖσιν ὡς συγκαλύπτουσι τὴν γύμνωσιν αὐτοῦ
διὰ τῶν ἐνταφιαστικῶν ὀθονίων, εὐλογητὸς ἐρεῖ κύριος
ὁ θεὸς Ἰωσήφ· ὡς ἂν καὶ ἡμᾶς τῆς τοιαύτης εὐλογίας,
κοινωνοὺς τῷ Ἀριμαθαίῳ γενέσθαι· κατὰ ζῆλον ὡς κἂν
πονουμένους ὡς ἐφίενται, τὸ παρὸν ἐντάφιον· μὴ γὰρ ὁ
κοιμώμενος οὐχὶ προσθήσει τοῦ ἀναστῆναι; οὐ γὰρ δὴ τὴν ψυχὴν
τοῦ μονογενοῦς ἐγκαταλείψει ὁ θεὸς καὶ πατὴρ ἐν ᾅδου· οὐδὲ δώσει
τὸν ὅσιον αὐτοῦ παῖδα ἰδεῖν διαφθοράν· βούλεται γὰρ
ὡς ἔτερος ἐκήρυττε προφήτης, καθαρίσαι αὐτὸν ἀπὸ τῆς
πληγῆς· δεῖξαι αὐτῷ φῶς· καὶ ἄλλος ὑγιάσει φησὶν ἡμᾶς
μετὰ δύο ἡμέρας· ἐν δὲ τῇ τρίτῃ ἡμέρᾳ ἀναστησόμεθα